fabulae explicationem, qualem in Heracl. XXVIII (infra p. 83, 6 sq.) legimus, significare videatur. Plura id genus inveniri posse apud poetas, nemo negabit. Sed ut illuc redeat unde digressa est oratio, quae de Diomedis equis in suo Palaephati libello legit Augusti fere aetate Theo[1]) prorsus concinunt cum nostri libelli cap. VII (infra p. 15, 11 sqq.). At illa eadem quomodo conciliari possint cum cap. XL (infra p. 61, 13) quis dixerit?[2]) Item de Cephali cane alia colligimus ex cap. II (infra p. 6, 14 sq.), alia ex V (infra p. 13, 12), quae ad unum auctorem referri nequeunt.[3]) Accedunt loci palaephatei a compluribus scriptoribus laudati adeo discrepantes ab iis quae nunc in nostro libello leguntur[4]), ut de una omnium origine valde sit dubitandum. Quodsi v. g. quae de Cerbero apud varios scriptores traduntur palaephatea cum cap. nostri libelli XXXIX (infra p. 58 sq.) contuleris, veri simile dices, quod mihi quidem iam pridem persuasum est, fuisse Byzantinorum aetate varias huiusmodi fabularum collectiones Palaephati nomine insignes, germani Palaephati opera partim complexas, partim nova quaedam id genus ficta, vel ex Euhemeristarum scriniis collecta.[5]) Unum constat,

1) Progymnasmatum auctorem, qui Palaephato peripatetico tribuit narrationes pragmaticas eas quae in nostri libelli cap. I. VI. VII. XLIII leguntur, post Hoppichleri et Thielei studia Augusti aequalem habere possumus. V. Schraderum, l. l. p. 21, adn. 4 et U. v. Wilamowitz-Möllendorff in *Hermae* vol. XXXV (1900) p. 6 sq.

2) Fusius de his disputavi in *NO.* 226 sq.

3) Cum Pal. II (infra p. 6, 14 sq.) conferendum dixi Antonini Liberalis fab. XLI locum (p. 125, 16 sq. Martini), ubi nunc etiam ut olim *ἐπεθύμησεν αὐτὸς τὸν ⟨κύνα καὶ τὸν⟩ ἄκοντα τοῦτον λαβεῖν* scribendum duco; palmaris enim Schaeferi emendatio *Πρόκρις ὑπέσχετο* pro tradito *προσυπέσχετο* perperam ab editore novissimo reiecta mihi videtur.

4) V. *Consideraz. etc.* p. 22 sqq. et quae contradicentibus respondi in *NO.* 227 sqq.

5) V. *NO.* 229 et *Consideraz. etc.* p. 65 sqq. Quae altero hoc loco fusius explicare conatus eram, id breviter et acute dixit postea U. v. Wilamowitz-Möllendorffius (*Herakles,* l. l.): *solche Litteratur hat keine feste Form*; sed in huius rationis usu nimius fuit.

ne Eustathium quidem hoc nostro libello usum esse, sed collectionem palaephateam aliam prorsus ei praesto fuisse.[1]) Quis autem quo tempore hanc nostram collectionem confecerit, ut nunc res est, haud facile dixeris. Si quid coniectando assequi possum, fuit qui ex variis eiusdem generis collectionibus unam eligeret palaephateum colorem prae ceteris praebentem, inde nonnulla describeret, alia ex aliis collectionibus intersereret. Cum id faceret hoc in primis sibi proposuisse videtur ut paratam materiam exercitationibus iis quae ἀνασκευαὶ apud rhetores appellabantur offerret.[2]) Id circa Nicephori Basilacae tempora vel etiam sub extremum saec. XII fieri potuisse admodum veri simile mihi videtur. Excerptoris studium in hoc positum dixerim ut omnibus eandem fere formam et dispositionem redderet[3]), stilum autem quantum posset simplicem et planum veteris collectionis servaret et in novis additamentis imitaretur. Inde factum est ut recentioribus[4]) speciem germani auctoris bonus excerptor, imprudens, opinor, et invitus, praeberet. Vetus illa collectio, vel potius huius exemplar unde haec nostra manarunt, saec. fere X vel XI tribuere supra[5]) conatus sum.

De capitibus illis a Palaephato alienis, quae pars tantum eaque deterior codicum nostrorum servavit, utrum e Byzantinorum rhetoricis officinis prolata sint an ex antiquiore fonte deducta, ut nunc res est, diiudicare non audeo. Quomodo tales artis exercitationes fabulis palae-

---

1) Illis quae in *Consideraz. etc.* p. 22 sqq. et in *NO.* 238 sqq. exposui nova possum argumenta addere partim ex commentario ad Dionysium; sed ea et huiusmodi alia, ne importunior hic sim, supplemento reservare statui.

2) De his egi in *NO.* 243 sq. Argumentationes plus minus argutas contra fabulae credibilitatem ipsi tribuere Palaephato error est in quem Schwartzium et Oderum incidisse nollem.

3) V. *Consideraz. etc.* p. 4. Amplificat haec suo more Schraderus l. l. p. 4 sqq.; cf. *NO.* 241.

4) Quibus vide quae obiecerim in *NO.* 240 sqq. praeter ea quae hic supra disputata sunt.

5) V. in priore horum prolegg. parte, § 17.

phateis addi potuerint, exemplo codicis vallicelliani iam pridem [1]) ostendere conatus sum. Scilicet haec omnia manibus discipulorum et docentium in scholis byzantinis terebantur; argumentorum affinitas modo Cornutum [2]), modo scripta haec rhetorica ad fabulas spectantia palaephateo libello subiunxit.

Antequam finem faciam, de Heraclito et de Excerptis Vaticanis perpauca dicenda sunt.

Codex vaticanus gr. 305 quem Theophylactus Saponopulos anno ut videtur 1314 [3]) exaravit, cum sit a F. I. G. La Porte-du Theil [4]) diligentissime descriptus, et cum clarissimorum philologorum Bastii [5]), Cobeti [6]), Hercheri [7]), Hinckii [8]) curas expertus sit, adeo notus omnibus horum studiorum cultoribus videtur, ut minime oporteat me in eo describendo chartam et tempus insumere. De horum excerptorum auctore (nam Heracliti quoque opus quod fertur non nisi excerptis constare ostendit quodammodo

---

1) *St. F.* IV 188 sq.

2) V. Vitellii codicum descriptiones.

3) V. Gardthausen, *griech. Palaeogr.* p. 340, La Porte-du Theil in *Notices et Extraits des Manuscrits de la Bibliothèque Nationale* VI p. 518.

4) l. l. p. 496 sqq. et VIII p. 238 sqq.

5) V. Westermanni praefationem ad Mythographos p. XV. Schoellii scripta inspicere mihi non licuit; de *Allegoriis Homericis* tamen intelligenda esse quae Westermannus de nostro libello dicta putavit, crediderim.

6) Qui contulit Heracliti Allegorias Homericas in eodem codice magna ex parte servatas. Harum vide editionem a Mehlero (Lugduni Batavorum 1851) paratam, p. V.

7) V. *Hermes* II 150 sqq. V 292. Idem clarissimus vir Heraclito et excerptis emendandis operam navavit in *Philol.* VII (1852) p. 605, *Herm.* XII (1877) 148—51.

8) Qui Porphyrii quaestiones homericas in usum Schraderi contulit. V. Porphyrii Quaestionum Homericarum ad Iliadem pertinentium reliquias collegit disposuit edidit Hermannus Schrader (Lipsiae 1880), p. 342.

cap. XXXIX (infra p. 87), ne dicam cap. XXVIII[1]) et quae mutila sunt capp. XXII, XXV, XXXVIII) novi quod afferam nihil est. Unum pertinaciter negaverim, *Allegoriarum Homericarum* auctorem cum eo posse confundi quicumque hanc *θεραπείαν μύθων* concinnaverit. *Allegoriarum* enim libellum satis bona Alexandrinorum[2]) doctrina refertum cum his pragmaticorum, palaephateorum etiam[3]), rhetorum lusibus componere nequeo. Ad Excerpta Vaticana quod attinet, eorum fontes iam tantum non omnium patent; quae me fugerunt alii facile reperient. Quod vero Galeus nonnulla huius farraginis capita ad verbum repetita in Varini Phavorini Lexico inveniri adnotavit[4]), id re diligenter quoad potui inspecta non nisi in capp. III, IV cadere inveni. Collationem ipsam, quoniam paucis complecti licet, hic appono:

Exc. Vat.		
infra p. 89, 12	*ἀλλὰ κτὲ.*	Phav. s. v. *Δέρας*
12	*χειμείας*	*χυμείας*
14	*τὴν ἐξ αὐτοῦ ἐνέργειαν*	*τὴν ἐν. τὴν ἐξ αὐ.*
15	*ὅτι — Ποσειδῶνα*	*Πωσειδῶνα καὶ Ἀπόλλωνα*
16	*τὴν Ἴλιον*	*τὸ Ἴλιον*
17	*ἐτείχισε τὴν πόλιν*	*ἐτείχισεν αὐτὸ*
19	*συλῶν*	*Λαομέδων*

1) Cfr. *NO.* IV, 245.
2) V. Susemihl, *Gesch. d. gr. Litt. in der Alexandrinerzeit,* II 44 et 52.
3) Hoc enim teneo, quod pluribus disserui in *NO.* 246 sqq.
4) V. Fabricius-Harles I 195 sq.

ADDENDA ET EMENDANDA.

P. 5, 3. Distinxerim *ἐφαίνοντο, τοῦ ἵππου* (sc. *τὰ λοιπά*). || 11, 1. V. § 25! || 24, 4. In adnot. ex AE addendum: *λόχος*] *λόγος e.* Cfr. § 20 extr. || 25, 9. *φυλάσσοντας* vel contra AS servandum fuit. || 39, 1. V. § 27! || 39, 4. Legendum *ὑψηλοί*. || 52, 10. In adnot. ex BS ad verba *φασὶ γενέσθαι* legendum *h* pro *y*. || 56, 13. Legendum *ἑκάστῳ*. || 57, 6. In adnot. ex BS legendum § 15 pro § 16. || 59, 7. Legendum *καθείργνυσι*, et sic etiam in adnot. ex AE. || 65, 3 sq. In adnot. ex BS legendum 3 *οὐκ*— pro 3 *ἵνα*—. || 76, 3. Legendum *ἔγκνος*. || 76, 18. Legendum *ταχέως*. || 90, 7. Legendum *χώρας*. || 97, c. XVIII (XVII). Cfr. Plat., Theaet. 153 c. || 122, s. v. *ποιεῖν* addendum: —*τί τινι* pro —*τί τινα* 34 6. Ibd. s. v. *πολεμικός* add.: *τὰ πολεμικά*, v. *ἀγαθός*. || 129, post *Ὠρίων* addendum: *ὡς* cum infin. 31 9.

ΠΑΛΑΙΦΑΤΟΥ ΠΕΡΙ ΑΠΙΣΤΩΝ

ΗΡΑΚΛΕΙΤΟΥ ΠΕΡΙ ΑΠΙΣΤΩΝ

EXCERPTA VATICANA

CONSPECTUS SIGLORUM.

I. In Palaephato.

A = {
- *p* = Parisinus 2557.
- *i* = Barberinianus I, 97.
- *v* = Vratislaviensis Rhedigeranus 22.
- *u* = Vallicellianus F 68.
- *a′* = { *a* = Editio Aldina. / *e* = cod. Hauniensis bibl. univ. n. 275. } v. Prolegg. I § 20.

B = {
- *k* = Neapolitanus 139.
- *l* = Laurentianus 60, 19.
- *x* = Vaticanus 942.

S = {
- *d* = Dresdensis De. 35.
- *y* = { *h* = Venetus Marcianus 513. / *n* = Parisinus 854. }
- *m* = Berolinensis-Phillipsianus 1611 (olim Meermannianus 350).

E = Archetypus codicum Epitomes a H. Vitellio restitutus (Studi Italiani di Filologia Classica I, 349 sqq.).

[*] indicat lectiones e codd. AE depromptas.
o. = omnes codices vel AE vel BS.
o*. = omnes omnium classium codices.
c. = ceteri codices.
c*. = ceteri + AE.
NO. = Studi Italiani di Filologia Classica IV, 225—256 (v. Prolegg. II § 1). Paragraphorum numeri in apparatu revocant ad Prolegg. partem priorem.

II. In Heraclito et Excerptis Vaticanis.

V = Cod. Vaticanus 305.
W = Westermanni editio.

Ubi V et W consentiunt, saepe nullam notam apposui.

ΠΑΛΑΙΦΑΤΟΥ ΠΕΡΙ ΑΠΙΣΤΩΝ.

Westermann p. 268

Τάδε περὶ τῶν ἀπίστων συγγέγραφα. ἀνθρώπων γὰρ οἱ μὲν εὐπειθέστεροι πείθονται πᾶσι τοῖς λεγομένοις, ὡς ἀνομίλητοι σοφίας καὶ ἐπιστήμης, οἱ δὲ πυκνότεροι τὴν φύσιν καὶ πολυπράγματοι ἀπιστοῦσι τὸ παράπαν μηδὲ γενέσθαι τι τούτων. ἐμοὶ δὲ δοκεῖ γενέσθαι πάντα τὰ λεγόμενα (οὐ γὰρ ὀνόματα μόνον ἐγένοντο, λόγος δὲ περὶ αὐτῶν οὐδεὶς ὑπῆρξεν· ἀλλὰ πρότερον ἐγένετο τὸ ἔργον, εἶθ' οὕτως ὁ λόγος ὁ περὶ αὐτῶν)· ὅσα δὲ εἴδη καὶ μορφαί εἰσι λεγόμεναι καὶ γενόμεναι τότε, αἳ νῦν οὐκ εἰσί, τὰ τοιαῦτα οὐκ ἐγένοντο. εἰ γάρ ⟨τί⟩ ποτε καὶ ἄλλοτε ἐγένετο, καὶ νῦν

Praef. refertur ex B et S (= *h*, *d*)
tit. *ἀπίστων* S*k*¹*x* : *τῶν ἀπ.* *k*² : *τῶν ἀπ. ἱστοριῶν* *l* **3** sq. *ὡς — φύσιν** : *οἱ δὲ πυκνότεροι τὴν φύσιν ⟨καὶ d⟩ ἀνομίλητοι σοφίας* **4** *πολυπράγματοι* B : *πολυπραγματείας* *d* : *πολυπραγμοσύνης* *h* **5** *μηδὲν* (om. *τι*) S **6** *οὐ*] *εἰ* Tollius **7** *ἐγένοντο* S : *ὑπῆρξε* B *δὲ*] *δὴ* Heuman. *ὑπῆρξεν* S* : om. B : *ὑπηρξεν ἂν* Gale. **9** *αὐτοῦ* *dh*² *δὴ* *l* **10** *γενόμεναι*] *γεγονέναι* Wopkens. *εἰσὶν* *l*²*h* *τὰ* *d** : *οὐ* *l*² (*εἰσὶ, ///τοιαῦτα* *l*¹) : om. *kx* *τὰ τ. οὐκ*] *οὐδὲ τῶ τότε* *h* *οὐκ** : *οὐ* *l* : om. *kxd* **11** *ἐγένοντο* *h* : *γίνεται* c. *τί* supplevi

---

Praef. refertur ex A (nil praeter tit. servavit E)
tit. *παλ. περὶ ἀπίστων ἱστοριῶν* **1** sq. *περὶ ἀπίστων συγγέγραφα. τῶν ἀνθρώπων οἱ μὲν γὰρ* (om. *εὐπειθέστεροι*) **4** *πολυπράγμονες* **7** *ἐγένετο* **8** *ἐγένετο* om. *τὸ ἔργον* *u* : *τὰ ἔργα* c. **10** *εἰσὶν* *iv* **11** *ἐγένοντο* *p*¹*u* : *ἐγένετο* c.

γάρ πο͂ τ *u* : *γὰρ τότε* c.

τε γίνεται καὶ αὖϑις ἔσται. ἀεὶ δὲ ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λαμίσκον τὸν Σάμιον „ἐν ἀρχῇ“ λέγοντας „ἔστιν ἃ ἐγένετο, καὶ νῦν ἔσται“. γενομένων δέ τινα οἱ ποιηταὶ καὶ λογογράφοι παρέ-
269 *τρεψαν εἰς | τὸ ἀπιστότερον καὶ ϑαυμασιώτερον, τοῦ ϑαυμάζειν ἕνεκα τοὺς ἀνϑρώπους. ἐγὼ δὲ γινώσκω ὅτι οὐ δύναται τὰ τοιαῦτα εἶναι οἷα καὶ λέγεται· τοῦτο δὲ καὶ διείληφα, ὅτι, εἰ μὴ ἐγένετο, οὐκ ἂν ἐλέγετο. ἐπελϑὼν δὲ καὶ πλείστας χώρας ἐπυνϑανόμην τῶν πρεσβυτέρων ὡς ἀκούοιεν περὶ ἑκάστου αὐτῶν, συγγράφω δὲ ἃ ἐπυϑόμην παρ' αὐτῶν. καὶ τὰ χωρία αὐτὸς εἶδον ὡς ἔστιν ἕκαστον ἔχον, καὶ γέγραφα ταῦτα οὐχ οἷα ἦν λεγόμενα, ἀλλ' αὐτὸς ἐπελϑὼν καὶ ἱστορήσας.*

I.

[*Περὶ Κενταύρων.*]

Περὶ Κενταύρων φασὶν ὡς ϑηρία ἐγένοντο καὶ ἵππου μὲν εἶχον τὴν ὅλην ἰδέαν πλὴν τῆς κεφαλῆς, ταύτην δὲ ἀνδρός. εἴ τις οὖν πείϑεται τοιοῦτον γενέσϑαι ϑηρίον, ἀδύνατον· οὔτε γὰρ ἄλλως αἱ φύσεις

---

1 *ἔγωγε* S* : *ἐγὼ* B 2 *λάμισκον* B 3 *ἃ καὶ ἐγένετο* B 4 *τινα** : *τινων* *ποιηταὶ καὶ* S* : *ποιητικοὶ* B 7 *λέγεται* S* : *λέγονται* B 10 *ἀκούοι* *kx* 11 *παρ'* Pierson. : *περὶ* o.*

I. refertur ex B et S (= *h*, *d* et — usque ad p. 3, 12 *ἐπινοοῦσιν* — *m*)

14 *φασὶν* om. *dm* : *λέγεται* (ante *περὶ κεν.*) *h* *ἐγένετο* (sed corr. ex *-οντο* *d*) S 15 *ἵππων* S 17 *γὰρ* om. *hm*

---

4 *γενόμενα* 6 *ἕνεκε* *a* : *ἕνεκεν* c. 9 *ἐπελϑὼν* *u* : *ἀπελϑὼν* c. 10 *τῶν*] *ἐκ*

I. refertur ex AE

14 *περὶ — φασὶν*] *κένταυροι* 15 *ἵππων* (ex cod. vat. pal. 143) *a* : *ἵππον* c. *ὅλην τὴν* 16 *ταύτην δὲ ἀνδρὸς* om. 17 *ἀδύνατον*] ⟨*ἐν* E⟩ *ἀδυνάτοις πεπίστευκεν* *ἄλλως* om. 17 — p. 3, 1 *ἡ φύσις σύμφωνος*

σύμφωνοι ἵππου καὶ ἀνδρός, οὔτε ἡ τροφὴ ὁμοία, οὔτε διὰ στόματος καὶ φάρυγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν διελθεῖν. εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, καὶ νῦν ἂν ὑπῆρχε. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας ἐν τῷ Πηλίῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη, ἥτις καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι ἐσίνοντο τὰ δένδρα καὶ τὸν καρπόν, καὶ ὑποζύγια συνέφθειραν. ἐκήρυξεν οὖν ὁ Ἰξίων, εἴ τις ἀνέλοι τοὺς ταύρους, τούτῳ δώσειν χρήματα πολλά. νεανίσκοι δέ τινες ἐκ τῆς ὑπωρείας, | ἐκ κώμης τινὸς καλουμένης 270 *Νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι (πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ' ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο). οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον ἐφ' οὗ οἱ ταῦροι ἦσαν, καὶ ἐπεισβαλόντες τῇ ἀγέλῃ, ἠκόντιζον· καὶ ὅτε μὲν διώκοιντο ὑπὸ τῶν ταύρων, ὑπέφευγον οἱ νεανίαι (ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι), ὅτε δὲ σταίησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον· καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον*

3 *εἰ δὲ xh** : *εἰ δ' ἡ l* : *ἡ δὲ kdm*, sed *εἰ* ante *τότε m* 4 *ἂν ὑπῆρχε ** : *ἂν ὑπῆρξε m* : *ὑπῆρξε⟨ν d⟩ kxhd* : *ὑπῆρχεν ἂν l* 7 *ταῦροι*] *κένταυροι kx* 8 *τὰ*] *καὶ hd* *τὰ δένδρα καὶ* om. *m* *τοὺς καρποὺς m** : *καρποὺς h* : *καρπὸν d* 9 *συνέφθ.* om. *h* 11 *ὑπωρείας* S* : *ὑπερορίας* B *τινὸς*] *οὕτω x* 13 *γὰρ h** : *δὲ* B*d* *ἐπίσταντο kl* *ἵππου l* 14 *ἅρμασιν xh* : *σύρμασιν d* : *ἅρματα kl* *δὲ ** : *δὴ* 16 *ἠκόντιζον ταύτην* *διώκοιντο* S*x* : *διώκοντο k* : *ἐδιώκοντο l** 19 *ἠκόντιζον αὐτούς* (glossemata hic et 16 recte om. AE) *τοῦτον τὸν τρόπον* S* : *μετὰ τοιοῦδε τρόπου* B

6 *ἥτις* om. 8 *ἔσινον* 9 *διέφθειρον* A : *ἔφθειρον* E *εἰ* — 10 *πολλὰ*] *ὡς εἴ τις οὖν ἕλοιτο τοὺς ⟨κεν-* E*⟩ ταύρους, ⟨τούτῳ* E*⟩ δῴη χρήματα πάμπολλα (πάμ. χρ.* E) 13 *ἐπίσταντο iu*E 15 sq. *ἐπεισβάλλοντες α'* : *ἐπιβάλλοντες* E 16 *τῇ α'* : *ἐν τῇ* c. *καὶ* — 19 *ἠκόντιζον* om. E 17 *ἀπέφευγον* 18 *ὅτε δὲ ἔστησαν*

αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους κατεκεντάννυσαν (οὐ γὰρ ἀπὸ τῆς ἰδέας τῶν ταύρων, οὐδὲν γὰρ πρόσεστι ταύρου τοῖς Κενταύροις, ἀλλ' ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστίν· ἀπὸ τοῦ ἔργου οὖν τὸ ὄνομα ἔλαβον). λαβόντες οὖν οἱ Κένταυροι παρὰ τοῦ Ἰξίονος τὰ χρήματα καὶ γαυριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρισταὶ ὑπῆρχον καὶ πολλὰ κακὰ εἰργάζοντο, καὶ δὴ καὶ κατ' αὐτοῦ τοῦ Ἰξίονος, ὃς ᾤκει τὴν νῦν καλουμένην Λάρισσαν πόλιν (τότε δὲ ἐκαλοῦντο οἱ τοῦτο τὸ χωρίον οἰκοῦντες Λαπίθαι). καλεσάντων οὖν αὐτοὺς ἐπὶ θοίνην μεθυσθέντες ἁρπάζουσιν αὐτῶν τὰς γυναῖκας, καὶ ἀναβιβάσαντες αὐτὰς ἐπὶ τοὺς ἵππους ᾤχοντο φεύγοντες εἰς τὴν οἰκείαν. ἐντεῦθεν ὁρμώμενοι ἐπολέμουν αὐτοῖς, καὶ καταβαίνοντες μὲν διὰ τῆς νυκτὸς εἰς τὰ πεδία ἐνέδρας ἐποιοῦντο, ἡμέρας δὲ γενομένης |

---

2 *κατεκεντάννυσαν kxd* : *κατεκέντουν l* : *κατεκέντησαν h* et Eust. ad Il. p. 102, 10 **3** *οὐ* — **5** *ἐστίν* post *ἔλαβον* (5) traicit Vitelli. **3** *οὐ — ταύρων* om. *h** *οὐδὲν h** : *οὐδὲ* B*d* **3** sq. *πρόσεστι ταύρου* S* : *πρόσεστιν ἵππου* B **4** *ἀλλ' ld* : *ἀλλὰ kx* : *καὶ γὰρ h* **5** sq. *λαβόντες οὖν χρ. π. τ. ἰξ. h* : *π. τ. ἰξ. ταῦτα λαβ. τὰ χρ. d* : *π. τ. ἰξ.* ⟨*δὲ l*⟩ *λαβ. τὰ χρ.* B **6** *οἱ κένταυροι* * : om. **9** *κατ'* S* : *κατὰ* B *αὐτοῦ* — **10** *οἱ* om. B; v. § 13 **11** *καλεσάντων d* : *καλέσαντες* c. *οὖν* om. B **14** *οἰκείαν x* : *οἰκίαν d* : *ἰδίαν* c. **15** *αὐτοῖς* S : *αὐτοὺς* B **16** *εἰς* S* : *ἐπὶ* B *δὲ* — p. 5, **2** *ἀπιόντων*] *γὰρ ὄντων* B; v. § 13

---

2 *κατεκέντουν a* : *κατεκέντων* E*u* : *ἐκέντουν* A*e* **5** *ἐστὶν ἀπὸ τ. ἔργου* (om. *οὖν τ. ὄ. ἔλ.*) **6** *οὖν* E*u* : *γοῦν* A *παρὰ ἰξ. χρ.* A : *χρ. παρὰ τοῦ ἰξ.* E **8** *ὑπῆρχον καὶ ὑπερήφανοι καὶ* A **9** *τοῦ* om. **10** sq. *οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες λαπίθαι ἐκαλοῦντο* **11** sqq. *κεκλημένοι δὲ οἱ κένταυροι παρὰ τῶν λαπίθων* (sic) *ἐπὶ θ. μ. ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν* **13** *καὶ* om. E *ἀν.* ⟨*δὲ* E⟩ *ἐπὶ τοὺς ἵππους αὐτὰς* **14** *οἰκείαν* — **15** *αὐτοῖς*] *οἰκίαν ὅθεν ὡρμῶντο· ἐπολέμουν οὖν τοῖς λαπίθαις* **15** *διὰ νυκτὸς* (om. *μὲν*) **16** *ἐποίουν*

ἁρπάσαντες καὶ ἐμπρήσαντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. 271
οὕτως ἀπιόντων αὐτῶν κατόπιν τὰ νῶτα τοῖς πόρρωθεν ὁρῶσι μόνον ἐφαίνοντο τοῦ ἵππου πλὴν τῆς κεφαλῆς, τῶν δὲ ἀνδρῶν τὰ λοιπὰ πλὴν τῶν σκελῶν. ξένην οὖν ὄψιν ὁρῶντες ἔλεγον „οἱ Κένταυροι ἡμᾶς οἱ ἐκ Νεφέλης κατατρέχουσιν.“ ἀπὸ δὴ ταύτης τῆς ἰδέας καὶ τοῦ λόγου ὁ μῦθος ἀπίστως ἐπλάσθη, ὡς ἐκ τῆς νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐν τῷ ὄρει ἐγεννήθη.

II.

[Περὶ Πασιφάης.]

Περὶ Πασιφάης μυθεύεται ὡς ἠράσθη ταύρου νεμομένου, Δαίδαλον δὲ ποιῆσαι βοῦν ξυλίνην καὶ ἐγκλεῖσαι τὴν Πασιφάην εἰς αὐτήν, οὕτω δὲ τὸν ταῦρον ἐπιβάντα μιγῆναι τῇ γυναικί, τὴν δὲ κυῆσαι καὶ τεκεῖν

---

1 ἁρπάσαντες *d* et Eust. : ἁρπάζοντές τι *h* ἐμπρήσαντες scripsi : ἐμπρίσταις sic *d* : ἐμπιπρῶντες *h* 2 τοῖς Tollius : αὐτοῖς B*d* : om. *h* una cum seqq. πόρρ. ὁρῶσι 3 τοῦ ἵππου τὰ λοιπὰ πλὴν B 4 δὲ] τε S 6 κατατρέχουσιν B : κατατρέχοντες *d* : διώκοντες *h* πολλὰ κακὰ ἐργάζονται add. S*; v. § 16 ἀπὸ S* : ἐκ B 7 ἀπίστως *d** : ἀστείως Eust. : ἄπιστος B : om. *h* 8 sq. ἐγεννήθη *h** : ἐγεννήθησαν B : ἐγεγόνει *d*

II. refertur ex B et S (= *h*, *d*)

10 περὶ πασιφάης *h* : περὶ ταύτης *d* : om. B* 12 οὕτω δὲ Valcken., coll. p. 3, 14 : οὕτω τε *h** : οὕτως τε c. 13 μιγῆναι *h** : μιχθῆναι B*d*

---

1 ἁρπάζοντες καὶ ἐμπρ. om. 2 ἀπιόντων — 4 σκελῶν] δ' (δὲ E) ἀπερχομένων αὐτῶν ἵππων οὐραὶ (οὐραῖα E) καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο 5 ὄψιν ὁρ.] ὁρ. θέαν οἱ om. 6 κατατρέχοντες ἐκ νεφέλης A : κατέχοντες ἐκ κεφαλῶν sic E δὴ A : δὲ E 7 καὶ om. *iav* 8 ἐγεννήθη ἐν τῷ ὄρει

II. refertur ex AE

10 ὡς] ὅτι 13 καὶ τεκεῖν om.

παῖδα σῶμα μὲν ἔχοντα ἀνδρός, κεφαλὴν δὲ βοός. ἐγὼ δὲ τοῦτο οὔ φημι γενέσθαι. πρῶτον μὲν γὰρ ἀδύνατον ἐρασθῆναι ζῷον ἕτερον ἑτέρου μὴ ὁμοίως ἔχον τὴν μήτραν τοῖς αἰδοίοις· οὐ γὰρ δυνατὸν κύνα καὶ πίθηκον καὶ λύκον τε καὶ ὕαιναν ἀλλήλοις μίγνυσθαι οὐδὲ βούβαλον ἐλάφῳ (ἑτερογενῆ γὰρ ὑπάρχει), οὐδὲ ἀλλήλοις μιγνύμενα γεννᾶν. ταῦρος δὲ οὐ δοκεῖ μοι πρῶτον μὲν ἀναμιχθῆναι ξυλίνῃ βοΐ· πάντα γὰρ τὰ τετράποδα [ζῷα] ὀσφραίνεται τῶν αἰδοίων τοῦ ζῴου πρὸ τῆς μίξεως, καὶ οὕτως ἀναβαίνει ἐπ' αὐτό· οὐδ' ἂν ἠνέσχετο ταύρου ἐπιβαίνοντος ἡ γυνή, οὐδὲ φέρειν δύναται γυνὴ ἔμβρυον κέρατα ἔχον. τὸ δ' ἀληθὲς
272 *ἔχει | ὧδε.* ***Μίνωά*** *φασιν ἀλγοῦντα τὰ αἰδοῖα τεθεραπεῦσθαι ὑπὸ* ***Πρόκριδος*** *τῆς* ***Πανδίονος*** *ἐπὶ τῷ κυνιδίῳ καὶ τῷ ἀκοντίῳ **** ***Κέφαλον.*** *κατὰ δὲ τὸν χρόνον τοῦτον Μίνῳ ἠκολούθει νεανίας κάλλει δια-*

---

1 *βοὸς καὶ κέρατα* S **3** *μὴ ὁμοίως ἔχον* B : *ὃ μὴ ὁμοίως ἔχει* S **4** *τὴν μήτραν h* : *τὰς μήτρας* c.; f. *τῆς μήτρας*? **5** *τε** : *πρὸς δὲ* *ἀλλήλοις x** : *ἑαυτοῖς* c. **8** *πρῶτον μὲν* om. *h**
9 *ζῷα* glossema videtur; cfr. p. 50, 9 *τοῦ ζῴου* B*d* : *τῶν ζῴων h* : f. *τοῦ θήλεος*, cf. Aristot. de gen. Anim. II c. 8 p. 748^{b}, 26 **10** *ἐπ' αὐτὸ d* : *ἐπ' αὐτὰ* c.; deleverim **12** *δύναται* B : *δύναιτο* S *γυνὴ* om. B *τὸ δ' αληθὲς d** : *ἡ δ' ἀλήθεια* c. **13** *ὧδε ἔχει h* : *οὕτως ἔχει d** **14** sq. *ἐπὶ — ἀκοντίῳ* om. *h* **15** *Κέφαλον* scripsi, lacunam statui cl. Anton. Lib. XLI; v. NO 227 : *ἐγκέφαλον* B : om. S

---

1 *ἔχοντα* ⟨*μὲν* A, om. E*u*⟩ *σῶμα* **2** *οὔ φημι τοῦτο* **3** *μὴ* — **4** *αἰδοίοις* om. **5** *πίθηκον, λύκον* *συμμιγῆναι*
6 *γὰρ ὑπ.*] *γάρ εἰσι* *οὐδὲ* — **7** *γεννᾶν* om. **8** *βοΐ ξυλ. ἀναμ.* *πάντα* — **10** *αὐτὸ* om. **10** sq. *οὐκ ἂν δὲ καὶ γυνὴ ἠνέσχ.* (*ἠν. καὶ γ. a'p*) *ταύρου ἐπιβ.* **12** *ἠδύνατο* *ἔχον* ⟨*γε a'*⟩ *κέρ.* E*ua'* : *ἔχοντα* (ex *ἔχον τὰ*, ut arbitror) *κέρ.* A **13** *ἔχει οὕτως* E*pua'* : *οὕτως ἔχει iv* **13** sq. *θεραπευθῆναι* A : *θεραπεύεσθαι* E **14** *ὑπὸ* — p. 7, 1 *τούτου*] *ὑπὸ κριδὸς* (*κρίδου* E*u*) *τοῦ πανδίονος· κατ' ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν* (*καιρ. τ. θερ.* E) *ἠκολούθει τῷ μίνωι νεανίας εὐειδὴς ὀνόματι ταῦρος· οὐ*

φέρων, ᾧ ὄνομα ἦν Ταῦρος. τούτου Πασιφάη ἔρωτι ἁλοῦσα καὶ πείσασα μίγνυται, καὶ ἐγέννησεν ἐξ αὐτοῦ παῖδα. Μίνως δ' ἐπιλογισάμενος τὸν χρόνον τῆς ἀλγηδόνος τῶν αἰδοίων, καὶ ἐπιγνοὺς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς διὰ τὸ μὴ συγκοιμᾶσθαι, ἐξετάζων τὸ ἀκριβὲς ἐπέγνω ὅτι ἐκ τοῦ Ταύρου ἐστὶ τὸ γεννηθέν. ἀποκτεῖναι μὲν οὖν οὐκ ἔδοξεν αὐτῷ διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν παίδων· ἀποπέμπει δὲ αὐτὸν εἰς τὸ ὄρος ὅπως αὐξηθεὶς ὑπάρχῃ ἐν θεράποντος μοίρᾳ τοῖς ποιμέσιν. ἀνδρωθεὶς δὲ οὗτος οὐχ ὑπήκουε τῶν βουκόλων. πυθόμενος δὲ ὁ Μίνως καταντᾶν αὐτὸν ἐκέλευσεν εἰς τὴν πόλιν, κρατεῖν δὲ αὐτόν· καὶ εἰ μὲν ἑκὼν ἕποιτο, λελυμένον ἐλθεῖν, εἰ δὲ μή, δέσμιον. αἰσθόμενος δ' ὁ νεανίας ἀφίσταται εἰς τὰ ὄρη, καὶ ἁρπάζων βοσκήματα οὕτω διέζη. πέμψαντος δὲ τοῦ Μίνωος πλείονα ὄχλον εἰς τὸ συλλαβεῖν αὐτόν, ὁ νεανίας ὄρυγμα βαθὺ ποιήσας καθεῖρξεν ἑαυτὸν εἰς

---

2 *καὶ πείσασα* om. *d** **7** *οὖν* om. B **9** *αὐξηθεὶς xd* : *αὐξηθὲν h* : *αὐξυνθεὶς kl* **10** *τοῖς ποιμέσιν* * : om. **10** sq. *τῷ βουκώλῳ* sic post ras. *d* : *τοῖς βουκόλοις h** **12** *κρατεῖν δὲ αὐτὸν* om. *h* fort. recte : *κρατῆσαι αὐτὸν d* **15** *οὕτω h** : *οὕτως d* : *τούτοις* B *δὲ* B*; *οὖν* S **16** *πλείονα* S* : *πλεῖστον* B *συλλαβεῖν* S* : *λαβεῖν* B

---

2 sq. *μίγνυται αὐτῷ καὶ γεννᾷ παῖδα* **4** *γνοὺς* **5** *μὴ* — **6** *ὅτι*] *μὴ συγκοιμᾶσθαι* (*συνευνάζεσθαι* E) *αὐτὸν τῇ πασιφάῃ, ἔγνω* ⟨*δὲ* A, om. E*a*⟩ *ὡς* **6** *τὸ κυηθὲν* fort. recte **7** *οὖν* E*u* : om. c. *ἔδοξεν αὐτῷ*] *ἤθελε τὸν παῖδα* A : *ἤ. τὸν ταῦρον* E*p*[1]*u* **8** *τῶν ἑαυτοῦ παίδων* **8** sq. *εἰς ὄρος ὡς ἐν θερ. μοίρᾳ ὑπάρχῃ* **10** *ἀνδρωθεὶς δὲ* om. **10** sq. *ὁ δὲ οὐχ ὑπεάσσετο τοῖς βουκόλοις* **11** *καταντᾶν* — **12** *αὐτὸν*] *τὰ κατ' αὐτὸν ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι* **13** *ἑκὼν* om. **15** *τοῦ* om. **16** *πλείονα ὄχ. εἰς*] *καὶ ἕτερον ὄχ. πλείονα διὰ* **17** *ποιήσας βαθὺ*

ἐκεῖνο. ἔνθα ὄντι αὐτῷ τὸν μὲν ἄλλον χρόνον εἰσεβάλλοντο πρόβατα καὶ αἶγας, καὶ ἔζη σιτούμενος· ὁπότε
273 δὲ Μίνως ἄνθρωπον ἠβούλετο τιμωρήσασθαι, τούτῳ καθειργμένῳ ἐν τῷ οἰκήματι εἰσέπεμπε, καὶ οὕτως ἀνῃρεῖτο. καὶ τὸν Θησέα ἄνδρα πολέμιον λαβὼν ὁ Μίνως ἤγαγε ἐπὶ τὸν τόπον ὡς ἀποθανούμενον· ἡ δὲ Ἀριάδνη προεισπέμπει ξίφος εἰς τὴν εἱρκτήν, ἐν ᾧ ὁ Θησεὺς ἀνεῖλε τὸν Μινώταυρον *** τοιούτου δὲ τοῦ συμβάματος γενομένου, ἐπὶ τὸ μυθῶδες οἱ ποιηταὶ τὸν λόγον ἐξέτρεψαν.

W 275, 16

III. (VI.)

[Περὶ Σπαρτῶν.]

Λόγος τις ἀρχαῖος λέγει ὡς ὁ Κάδμος ὄφιν ἀποκτείνας καὶ ἐκλέξας τοὺς ὀδόντας ἔσπειρεν ἐν τῇ ἰδίᾳ γῇ· ἔπειτα ἐξέφυσαν ἄνδρες τε καὶ ὅπλα. εἰ δὲ τοῦτο

---

1 ἔνθα B* : ἐνταῦθα S 1 sq. εἰσεβάλλοντο sic k : εἰσέβαλλον x : εἰσέβαλλεν l 5 ὁ μίνως S : ὁμοίως B 7 προεισπέμπει d* : προπέμπει B : πέμπει h 8 lacunam statui 8 sq. τοῦ συμβάντος S 9 γενομένου ld : γινομένου kx : om. h

III. (VI.) refertur ex B et S (= d, h)

11 λέγει dx : λέγεται c.* 12 καὶ om. S ἐκλεξάμενος h* ἰδίᾳ] Ἀονίᾳ scripserim (v. § 24) 13 ἄνδρες τε καὶ ὅπλα S* : ἄνδρες ὁπλῖται B

---

1 ὄντι αὐτῷ] ὄντος τοῦ ταύρου τὸν μὲν — 2 σιτούμενος om.

2—6 ὁπότε — τὸν τόπον] εἴποτε παρὰ τοῦ μίνωος ἐκρατήθη [p. 273 W.] τις ἀδικῶν, παρὰ τὸν ταῦρον ἐπέμπετο ὡς ὁ ταῦρος αὐτὸν τιμωρήσαιτο. λαβὼν ⟨οὖν A⟩ ποτὲ μίνως τὸν θησέα πολέμιον ἐπὶ τὸν ταῦρον ἀπέστειλεν 7 ἐν ᾧ] δι' οὗ 8 ἀναιρεῖ a' p² : ἀναιρεῖται c. τοιούτου — 10 ἐξέτρεψαν om.

III. (VI.) refertur ex E a et — usque ad οἱ παῖδες, p. 9, 11 — A

11 λόγος τ. ἀρ. om. 11 sq. ὄφιν ἀποκτ.] ὥς φησιν ἀποκτ. τὸν ἐν λέρνῃ (unde Δίρκῃ Fischer.) δράκοντα E a 12 τοὺς ὀδ. ἐκλεξάμενος 13 ἐξεφύησαν E

ἦν ἀληθές, οὐδεὶς ἀνθρώπων ἄλλο τι ἂν ἔσπειρεν ἢ ὀδόντας ὄφεων· καὶ εἰ μὴ ἐν ἄλλῃ γῇ ἐφύετο, ἀλλ' οὖν τέως ἐν ἐκείνῃ τῇ γῇ ἐσπείρετο ἐν ᾗ καὶ πρώην ἐφύετο. τὸ ἀληθὲς οὖν ἐστι τοῦτο. Κάδμος ἀνὴρ τὸ γένος | Φοῖνιξ ἀφίκετο εἰς Θήβας, πρὸς τὸν ἀδελφὸν 276
Φοίνικα ἁμιλλησόμενος περὶ τῆς βασιλείας. ἦν δὲ βασιλεὺς τότε Θηβῶν Δράκων Ἄρεως παῖς, ἔχων ἄλλα τε πολλὰ ὅσα βασιλεύς, καὶ δὴ καὶ ὀδόντας ἐλεφάντων. τοῦτον ὁ Κάδμος ἀποκτείνας αὐτὸς ἐβασίλευσεν· οἱ δὲ φίλοι τοῦ Δράκοντος ἐπολέμουν αὐτῷ, καὶ οἱ παῖδες αὐτοῦ συνέστησαν τῷ Κάδμῳ. οἱ οὖν φίλοι τοῦ Δράκοντος, ἐπεὶ ἥττονες ἐγένοντο τῇ μάχῃ, ἁρπάσαντες τὰ χρήματα τοῦ Κάδμου καὶ τοὺς ἐλεφαντίνους ὀδόντας κειμένους ἐν τῷ ἱερῷ, ᾤχοντο φεύγοντες εἰς τὴν οἰκείαν· ἄλλοι δὲ ἀλλαχῇ διεσπάρησαν, οἱ μὲν

---

1 sqq. locus fort. corruptus; v. l. l. 1 *ἂν h* : om. *c*. 4 *τὸ** : om. *ἀληθὲς* S* : *ψευδὲς* B *ἐστι* om. B 4 sq. *τὸ γένος x*S* : *τῷ γένει kl* 5 *πρὸς x*S* : *εἰς kl* 6 *ἁμιλλησόμενος* S : *μειλιξόμενος* B 7 *θηβαίων* B *ἔχων* — 9 *ἐλεφάντων* huc traieci : post *βασιλείας* (6) habent *o*.*, v. l. l. 10 *ἐπολέμουν* — 12 *δράκοντος* om. *xh* 11 *συνέστησαν* (i. e. 'proelium commiserunt') *τῷ Κ.* scripsi : *ἔστησαν σὺν τῷ κ. kl* : *ἐν τῷ κ. ἔστησαν d* 15 *τὰ οἰκεῖα* B *ἀλλαχῇ h** : *ἀλλα$^{\tilde{\chi}}$ d* : *ἀλλαχοῦ* B

---

1 *ἂν* ⟨*τῶν a*⟩ *ἀνθρώπων* E*a* : *ἀνθρώπων* A*e* *ἔσπειρεν ἄλλο τι ἢ* 2 *ὄφεων* om. E : *δρακόντων* A *καὶ εἰ* — 4 *ἐφύετο* om. 4 *τὸ δὲ ἀλ. οὕτως* ⟨*ἔχει* p^2*a*⟩ *ἀνήρ* om. 5 *ἦν φοῖνιξ, ἀφίκετο* ⟨*δὲ* A, om. E*a*⟩ 6 *ἁμιλλησόμενος* A : *ἀμιλληθησόμενος* Ep^2 7 *ὁ βασ. τῶν θηβῶν* (om. *τότε*) 8 *ὅσα*] *ὡς* *ἀλλὰ καὶ δὴ καὶ* A : *ἀλλὰ δὴ καὶ* E*a* : *ἀλλὰ καὶ δὴ e* 9 *τοῦτον*] *ὃν* *αὐτὸς* om. 11 *καὶ* — 12 *ἐπεὶ*] *ἀν*⟨*τ* A*e*⟩*έστησαν δὲ κατὰ κάδμον* (-*μον* E*a*) *καὶ οἱ παῖδες τοῦ δράκοντος. ἐπεὶ οὖν οἱ φίλοι καὶ οἱ παῖδες* 12 *ἥττους* *τῇ μάχῃ* om. 14 *κειμένους* — *ἱερῷ* om. *ᾤχ.* — 15 *οἰκείαν*] *ἔφυγον ὅθεν ὥρμηντο*

εἰς τὴν Ἀττικήν, οἱ δὲ εἰς τὴν Πελοπόννησον καὶ Φωκίδα καὶ Λοκρίδα. ἐντεῦθεν δρμώμενοι ἐπολέμουν τοῖς Θηβαίοις, καὶ ἦσαν ἀργαλέοι πολεμισταί, ὁμόγλωσσοι ὄντες καὶ ἐπιστάμενοι τὰ χωρία. ἐπεὶ οὖν τοὺς ὀδόντας διαρπάσαντες ἔφυγον, ταῦτα ἔλεγον οἱ πολῖται „τοιαῦτα κακὰ ἡμᾶς ὁ Κάδμος εἰργάσατο Δράκοντα ἀποκτείνας· ἐκ γὰρ τῶν ἐκείνου ὀδόντων πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες γενόμενοι σπαρτοὶ καταγωνίζονται ἡμᾶς.“ τούτου τοῦ πράγματος ἀληθινοῦ γενομένου ὁ μῦθος προσανεπλάσθη.

IV. (VII.)

[*Περὶ τῆς Καδμείας Σφιγγός.*]

Περὶ τῆς Καδμείας Σφιγγὸς λέγεται ὡς θηρίον
277 *ἐγένετο σῶμα μὲν κυνὸς ἔχον, | τὴν δὲ κεφαλὴν καὶ τὸ πρόσωπον κόρης, πτέρυγας δὲ ὄρνιθος, φωνὴν δὲ ἀνθρώπου. καθίζουσα δὲ ἐπὶ Φικίου ὄρους αἴνιγμά*

---

2 *ἐντεῦθεν δὲ* l^2 2 sq. *τοῖς θηβαίοις* S* : *τοὺς θηβαίους* B
8 *καταγωνίζονται* *h* : *πολεμοῦσιν* c.*
IV. (VII.) refertur ex B et S (*h*, *d*)
tit. *καδμείας* *xh* : om. c.* 11 *περὶ — σφιγγὸς* om. *kl*
14 *φικείου* *h* : *φωκείου* *d* 14 sq. *αἴνιγμά τι* S* : *αἰνίγματα* B

---

1 sq. *καὶ Φ. — δρμώμενοι*] *ἄλλοι δὲ εἰς φ., ἕτεροι δὲ εἰς λ.· ἀφ' ὧν χωρῶν ἐρχόμενοι* 3 *καὶ* om. *ὁμόγλωσσοι — 4 χωρία* om. 4 sq. *ὀδ. διαρπ.*] *ἐλεφαντίνους ὀδ. οὓς εἶχεν ὁ κάδμος ἁρπάσαντες* 5 *ταῦτα* om. *πολῖται*] *θηβαῖοι ὅτι*
5 sq. *τοι. δεινὰ ὁ κ. ἐπήγαγεν ἡμῖν ἀποκτείνας τὸν δράκοντα*
7 *γὰρ* om. 8 *γενόμενοι* om. *ἡμῖν*
IV. (VII.) refertur ex E*a*
12 *κυνὸς — κεφαλὴν*] *ἔχον ὡς κυνός, κεφαλὴν δὲ* 13 *τὸ* om. 13 sq. *πτέρ. ὄρνιθος φωνὴν δ'* (*δὲ a*) *ἀνθρώπου. καθεζομένη δὲ ἐπὶ σφικίου*

τι ἑκάστῳ τῶν πολιτῶν ᾖδεν· ὃν δ' ἂν εὗρε διαλύσασθαι μὴ δυνάμενον, τοῦτον ἀνῄρει. διαλυσαμένου δὲ τὸ αἴνιγμα Οἰδίποδος, ῥίψασα ἑαυτὴν ἀνεῖλεν. ἔστι δὲ ἄπιστος καὶ ἀδύνατος ὁ λόγος. οὔτε γὰρ ἰδέα τοιαύτη δύναται γενέσθαι, τό τε τοὺς μὴ δυναμένους διαλύεσθαι [τὰ] αἰνίγματα κατεσθίεσθαι ὑπ' αὐτῆς, παιδαριῶδες, τό τε τοὺς Καδμείους μὴ κατατοξεῦσαι τὸ θηρίον, ἀλλὰ περιορᾶν τοὺς πολίτας ὡς πολεμίους κατεσθιομένους, μάταιον. ἔχει οὖν ἡ ἀλήθεια ὧδε. Κάδμος ἔχων γυναῖκα Ἀμαζονίδα, ᾗ ὄνομα Σφίγξ, ἦλθεν εἰς Θήβας, καὶ ἀποκτείνας Δράκοντα τήν τε οὐσίαν καὶ βασιλείαν παρέλαβε, μετὰ δὲ καὶ τὴν ἀδελφὴν Δράκοντος, ᾗ ὄνομα Ἁρμονία. αἰσθομένη δὲ ἡ Σφὶγξ ὅτι ἄλλην ἐπέγημε, πείσασα πολλοὺς τῶν πολιτῶν συναπᾶραι αὐτῇ, καὶ τῶν χρημάτων τὰ πλεῖστα ἁρπάσασα, καὶ τὸν ποδώκη κύνα, ὃν ἧκεν ὁ Κάδμος ἄγων, λαβοῦσα, μετὰ τούτων ἀπῆρεν εἰς τὸ καλούμενον ὄρος Φίκιον, καὶ ἐντεῦθεν ἐπολέμει τῷ Κάδμῳ· ἐνέδρας δὲ ποιουμένη κατὰ τὴν ὥραν ἀνῄρει οὓς διαρπάζουσα

---

1 πολιτῶν mihi suspectum; παριόντων? 5 γενέσθαι δύναται B 6 τὰ induxi 10 ᾗ ὄνομα ἦν σ. S 12 μετὰ δὲ καὶ d* : καὶ h : μετὰ τοῦτο δὲ B 14 πολλοὺς — 16 ἁρπάσασα om. B 16 ὃν — 17 ἄγων S* : ἧκε κατὰ τοῦ κάδμου καὶ B 17 τούτων S* : τοῦτο B 18 φίκειον h 19 διαρπάζουσα scripsi (F 14, 1) : δὲ ἁρπάζουσα

---

1 ἑκάστῳ — 3 Οἰδίποδος] τῶν πολιτῶν ἑκάστῳ ἔλεγεν καὶ τὸν μὴ εὑρόντα ἀνῄρει. εὑρόντος δὲ τοῦ οἰδίποδος τὸ αἴνιγμα 5 μὴ — 6 αὐτῆς] τὰ αἰνίγματα μὴ διαλύοντας ὑπ' αὐτῆς ἀποκτείνεσθαι 8 παρορᾶν 11 εἰς ἀθήνας a Δράκ. — 12 καὶ β.] τὸν δράκοντα τὴν τούτου β. 14 δὲ ἡ a : δ' ἡ E ὅτι καὶ ἄλλην ἔγημε πείσασα τοὺς πολλοὺς a : πείσας πολλοὺς E 16 ἧκε κάδμος 17 sq. τὸ λεγόμενον ὄρος σφιγκίον 19 καθ' ἑκάστην ὥραν οὓς — p. 12, 1 ᾤχετο om.

ᾤχετο. καλοῦσι δὲ οἱ Καδμεῖοι τὴν ἐνέδραν αἴνιγμα. ἐθρύλλουν οὖν οἱ πολῖται λέγοντες „Σφὶγξ ἡμᾶς ἡ
278 ἀγρία αἰνίγματι ὑφι|σταμένη διαρπάζει, καὶ καθίζει ἐπὶ τοῦ ὄρους. ἐξευρεῖν δὲ τὸ αἴνιγμα οὐδεὶς δύναται, ἔκ τε τοῦ προφανοῦς μάχεσθαι ἀδύνατον· οὐ γὰρ τρέχει, ἀλλὰ πέτεται καὶ κύων καὶ γυνή[, οὕτω ποδώκης ἐστί]." κηρύττει δὲ ὁ Κάδμος τῷ ἀποκτενοῦντι τὴν Σφίγγα χρήματα δώσειν πολλά. ἐλθὼν οὖν ὁ Οἰδίπους, ἀνὴρ Κορίνθιος τά τε πολεμικὰ ἀγαθός, ἵππον ἔχων ποδώκη, καὶ λόχους τῶν Καδμείων ποίησας καὶ διὰ νυκτὸς ἐξιὼν καὶ ἐνεδρεύσας αὐτήν, εὗρε τὸ αἴνιγμα [τουτέστι τὴν ἐνέδραν] καὶ ἀπέκτεινεν τὴν Σφίγγα. τούτων γενομένων τὰ λοιπὰ ἐμυθεύθη.

V. (VIII.)

[Περὶ τῆς Τευμησίας Ἀλώπεκος.]

Φασὶ περὶ τῆς Τευμησίας Ἀλώπεκος ὡς ἁρπάζουσα τοὺς Καδμείους κατήσθιεν. ἔστι δὲ εὔηθες.

---

3 ἀγρία (ut Pierson. coniecit) cod. paris. 2551 : ἀργεία o.* 5 ἔκ τε τοῦ προφανοῦς S : ἐκ τοῦ προφανῶς B ἀδύνατον S : om. B 6 ποτᾶται hx καὶ κύων καὶ γυνὴ h : καὶ ὁ κ. καὶ ἡ γ. d : καὶ ἡ κ. καὶ (haec 4 verba in eras.) ἡ γ. l : καὶ ἡ κύων ἡ γυνὴ kx 6 sq. οὕτω π. ἐ. induxi 7 ποδώκεις εἰσὶ S δὲ lS* ; δ' x : δὴ k 9 οὖν S* : δὲ B 11 ποιήσας καὶ et alt. καὶ om. S 12 αὐτὴν S : αὐτῇ B 12 sq. τουτ. τ. ἐ. induxi

---

1 Καδμεῖοι] Θηβαῖοι 3 αἰν. ὑφ.] αἴνιγμά τι λέγουσα 3 καὶ — 4 ὄρους om. 4 δὲ a : om. c. 5 ἔκ — 7 ποδ. ἐστί om. 8 δώσειν χρήματα 10 ἔχων ἵππον καὶ λ. — 13 ἐνέδραν καὶ] καί τινας λαβὼν μεθ' ἑαυτοῦ τῶν καδμείων νυκτὸς ἀπιὼν ἐπὶ τὸ ὄρος 13 sq. γεν. — ἐμυθεύθη] οὕτως συμβάντων ὁ μῦθος ἐπιτηδεύθη (at ἐπετηδεύθη codd. laur. 56, 20 et marc. 509)

οὐδὲ γὰρ ἄλλο τί ἐστι χερσαῖον θηρίον ὃ δύναται ἁρπάσαν ἄνθρωπον φέρειν, ἀλώπηξ δὲ μικρόν ἐστι καὶ ἀσθενές. ἐγένετο δέ τι τοιοῦτον. ἀνὴρ Θηβαῖος καλὸς κἀγαθὸς ἐκαλεῖτο Ἀλώπηξ, ὃ ἦν πανοῦργος· οὗτος γὰρ συνέσει πάντων τῶν ἀνθρώπων ὑπερέφερε. δεδιὼς δὲ ὁ βασιλεὺς μὴ ἐπιβουλεύσῃ αὐτῷ, ἐξελαύνει αὐτὸν ἐκ τῆς πόλεως. συναγαγὼν δὲ ἐκεῖνος πολὺν στρατὸν καὶ ἄλλους μισθοφόρους, κατέλαβε τὸν καλούμενον λόφον Τευμήσιον. ἐντεῦθεν ὁρμώμενος ἦγε καὶ ἔφερε τοὺς Θηβαίους. ἔλεγον δὲ οἱ ἄνθρωποι „Ἀλώπηξ ἡμᾶς κατατρέχων ὑποχωρεῖ.“ ἀφικνεῖται δὲ ἀνὴρ Κέφαλος ὀνόματι, γένος Ἀθηναῖος, στρατὸν πολὺν ἔχων, ἐπίκουρος τοῖς Θηβαίοις. οὗτος τόν τε Ἀλώπεκα ἀπέκτεινε καὶ τὸν στρατὸν αὐτοῦ ἐξήλασεν ἐκ τοῦ Τευμησίου. ὧν γενομένων ἐμυθολογήθη ἐκεῖνα.

V. (VIII.) refertur ex B et S (= *h*, *d*)

1 *οὐδὲ* S : *οὐ* B* *θηρίον χερσαῖον* S 2 *φέρειν* S* : *φεύγειν* B 4 ὃ Vitelli. : ὃς o.* 9 *τεύμησον* B 9 sq. *ἦγε καὶ ἔφερε* S : *ἠχμαλώτευε λάθρα* B 11 *κατατρέχων** (cfr. p. 5, 6) : *κατατροχάζων* S : *ἀφαρπάζων πάλιν* B 11 sq. *ἀφικνεῖται* S* : *ἔρχεται* *l* : *καλεῖται* *kx* 13 *πολὺν στρ. ἔχων* *d* : *στρ. ἔχων πολὺν* *h* *οὗτος* S* : *καὶ αὐτὸς* B

V. (VIII.) refertur ex E*a*

1 *τί* — 2 *φέρειν*] *τι ζῷον ὃ δύναται ἁρπάσαι ἄνθρωπον καὶ φέρειν χερσαῖον ὄν* 2 *μικρόν ἐστι ζῷον* 5 *γὰρ* om. *πάντας ἀνθρώπους ἐνίκα* 8 *κατέλ.* — 10 *ἔφερε*] *τὸν καλούμενον λόφον τελμήσιον κατέλαβεν, ὅθεν ἐκπηδῶν ἐσύλα* 12 *δ' ἀνὴρ τὸ γένος* 13 *πολὺν ἔχων στρατὸν* 14 *αὐτοῦ* om. 15 *Τευμησίου*] *τόπου* (*λόφου* coni. Pierson.) *ὧν* — 16 *ἐκεῖνα* om.

VI. (III.)

W 273, 6

[*Περὶ Ἀκταίωνος.*]

Φασὶν Ἀκταίωνα ὑπὸ τῶν ἰδίων κυνῶν καταβρωθῆναι. τοῦτο δὲ ψευδές· κύων γὰρ δεσπότην καὶ τροφέα μάλιστα φιλεῖ, ἄλλως τε καὶ αἱ θηρευτικαὶ πάντας ἀνθρώπους σαίνουσιν. ἔνιοι δέ φασιν ὡς Ἄρτεμις μὲν ⟨εἰς ἔλαφον μετέβαλεν⟩ αὐτόν, ἔλαφον δὲ ἀνεῖλον αἱ κύνες. ἐμοὶ δὲ δοκεῖ Ἄρτεμιν μὲν δύνασθαι ὅ τι θέλοι ποιῆσαι· οὐ μέντοι ἐστὶν ἀληθὲς ἔλαφον ἐξ ἀνδρὸς ἢ ἐξ ἐλάφου ἄνδρα γενέσθαι· τοὺς δὲ μύθους τούτους συνέθεσαν οἱ ποιηταί, ἵνα οἱ ἀκροώμενοι μὴ ὑβρίζοιεν εἰς τὸ θεῖον. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἀκταίων ἦν ἀνὴρ τὸ γένος Ἀρκάς, φιλοκύνηγος. οὗτος ἔτρεφεν ἀεὶ κύνας πολλὰς καὶ ἐθήρευεν ἐν τοῖς ὄρεσιν, τῶν δὲ αὐτοῦ πραγμάτων ἠμέλει. οἱ δὲ

VI. (**III.**) refertur ex B et S (= *h*, *d*)

2 *τοῦτο δὲ ψευδές* recepi ex E : om. *γὰρ** : *δὲ* **3** *θηρευτικαὶ* B*d*[2]* : *θηρευταὶ* (cfr. Xen. Ages. IX, 6) *καὶ hd*[1] **3** sq. *πάντας** : *πᾶσαι* **5** *εἰς ἔ. μετ.* supplevi *αὐτὸν μετέβαλεν* cod. montepess. 422 m.[2] mg. *ἔλ. δ. ἀν.*] *ἔλαφον ἐποίησε καὶ οὕτως ἀνεῖλον l* : *ἀνεῖλεν, ἔλαφον δὲ h* **6** *μὲν, μὴ δύνασθαι d* **7** *θέλοι d* Westerm. : *θέλει* c. **8** *ἢ d** : *ὡς καὶ* B : om. *h* *δὲ l** : *τὲ* c. **9** *οἱ h** : om. c. **11** *ἀνὴρ* om. B **12** *ἔτρεφε* (om. *ἀεὶ*) *d** *κύνας θηρευτικοὺς* (*-ικὰς l*) B *πολλὰς lh** : *πολλοὺς* c. **13** *αὑτοῦ kxh*

VI. (**III.**) refertur ex E*a*

2 *δέ ἐστι ψ.* **3** *τροφέα* om. **4** *ὡς* — **6** *κύνες*] *ὅτι ἀρτέμιδος αὐτὸν μεταβαλλούσης* (*-αλού-* cod. paris. 2551 et Westerm.) *εἰς ἔλαφον ἀνεῖλόν τινες* **6** sq. *μὲν οὐ δύνασθαι ὃ θέλειν* **7** *μέντοι δὲ* (om. *ἐστὶν*) **8** *ἀνδρὸς γενέσθαι ἢ ἐξ ἐλάφου ἄνδρα* **10** *ὑβρίζωσιν* **10** sq. *δ᾽ ἀληθὲς οὕτως ἔχει. ἀκταῖος ἄνθρωπος ἦν τ. γ. ἀρκάδιος* **13** *ὄρεσι, τοῦ δ᾽ ἀγαθοῦ πράγματος* *δὲ*] *γὰρ*

τότε ἄνθρω|ποι αὐτουργοὶ πάντες ἦσαν οἰκέτας τε 274 *οὐκ εἶχον [, ἀλλ' ἑαυτοῖς ἐγεώργουν], καὶ οὗτος ἦν πλουσιώτατος ὃς [αὐτὸς ἐγεώργει καὶ] ἐργατικώτατος ὑπῆρχε. τῷ οὖν Ἀκταίωνι ἀμελοῦντι τῶν οἰκείων, μᾶλλον δὲ κυνηγετοῦντι, διεφθάρη ὁ βίος. ὅτε δὲ οὐκέτι εἶχεν οὐδέν, ἔλεγον οἱ ἄνθρωποι „δείλαιος Ἀκταίων, ὃς ὑπὸ τῶν ἰδίων κυνῶν κατεβρώθη," ὥσπερ καὶ νῦν ἐάν τις πορνοβοσκῶν ἀτυχήσῃ, λέγειν εἰώθαμεν „ὑπὸ τῶν πορνῶν κατεβρώθη." τοιοῦτον δή τι καὶ τὸ περὶ τὸν Ἀκταίωνα γέγονεν.*

VII. (IV.)

[*Περὶ τῶν Διομήδους ἵππων.*]

Περὶ τῶν Διομήδους ἵππων φασὶν ὅτι ἀνδροφάγοι ἦσαν, γελοίως· τὸ γὰρ ζῷον τοῦτο μᾶλλον χόρτῳ καὶ κριθῇ ἥδεται ἢ κρέασιν ἀνθρωπίνοις. τὸ

---

2 *ἀλλ' ἑ. ἐγ.* induxi **3** *πλουσιώτατος ὃς* S* : *πλούσιος ἕως* B *αὐτὸς ἐγ. καὶ* induxi *ἐργαστικώτατος* *kl* **5** *ἐφθάρη* *kl* **6** *οὐκέτι** : *οὐκ ἔτι* *d* : *οὐκ* B : om. *h* *δειλὲ* (unde *δείλαιε* coni. Pierson.) *d** **7** *ὃς* S* : om. B fort. recte **8** *ὥσπερ* — **9** *κατεβρώθη* om. B *ὥσπερ* scripsi : *ὡς ἂν* S *δυστυχήσῃ* Vitelli. **10** *δή τι* *kx* : *δή τοι* *l* : om. S* *περὶ* S* : *κατὰ* B *τὸν* om. S *γέγονεν* *h** : *ἐγένετο* *d* : om. B

VII. (IV.) refertur ex B et S (= *h*, *d*)

11 *περὶ* — *ἵππων** : om. **12** *ἦσαν αἱ τοῦ διομήδους ἵπποι* B **13** sq. *τὸ δ' ἀ.* *d* : *ἀλλὰ τὸ ἀ.* B : *ἡ δὲ ἀλήθεια* *h**

---

1 *τε* — **2** *ἑαυτοῖς*] *δὲ εἶχον οὐδ' ὅλως, ἀλλ' αὐτοὶ* **3** *αὐτὸς* om. **4** *οὖν*] *δὲ* **7** sq. *κατεβρώθης, ἐπείπερ καὶ νῦν πορνοβοσκῶν δυστυχήσεις εἰώθασι λέγειν ὅτι ὑπὸ* **10** *τὸ* om.

VII. (IV.) refertur ex E*a* et — inde a p. 16, 6 *καὶ ἵππων τροφὴν* — A

tit. *περὶ τῶν ἀνθρωποφάγων ἵππων διομήδους* **11** sq. *ἀνδροφ.* — *γελοίως*] *ἀνθρώπους κατήσθιον· τοῦτο δὲ γελοῖον* **12** sq. *κριθῇ καὶ χόρτῳ ἥδεται μᾶλλον* **13** sq. *ἡ δὲ ἀλ. ἥδε*

δ' ἀληθὲς ὧδε ἔχει. τῶν παλαιῶν ἀνθρώπων ὄντων αὐτουργῶν, καὶ τὴν τροφὴν καὶ τὴν περιουσίαν οὕτως κτωμένων, ἅτε τὴν γῆν ἐργαζομένων, ἱπποτροφεῖν τις ἐπελάβετο, καὶ μέχρι τούτου ἵπποις ἥδετο, ἕως οὗ τὰ αὑτοῦ ἀπώλεσε καὶ πάντα πωλῶν κατανάλωσεν εἰς τὴν τῶν ἵππων τροφήν. οἱ οὖν φίλοι ἀνδροφάγους τοὺς ἵππους ὠνόμασαν. ὧν γενομένων προήχθη ὁ μῦθος.

VIII. (IX.)

W 279 [Περὶ Νιόβης.]

Φασὶν ὡς Νιόβη γυνὴ ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων· ὅστις δὲ πείθεται ἐξ ἀνθρώπου λίθον γενέσθαι ἢ ἐκ λίθου ἄνθρωπον, εὐήθης ἐστί. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Νιόβης ἀποθανόντων τῶν παίδων, ποιήσας τις εἰκόνα λιθίνην ἔστησεν ἐπὶ τῷ τύμβῳ

---

1 ἔχει ὧδε *d* : οὕτως (om. ἔχει) *h* ὄντων* : τῶν B*d* : om. *h*, ubi mox αὐτουργούντων 2 καὶ τὴν τροφὴν om. S περιουσίαν τοῦ βίου *d* οὕτως *x*S : οὕτω *kl* 3 ἅτε — ἐργαζομένων* : τουτέστι τῇ αὐτουργίᾳ B : ἅτε ὀλίγων (sic) τὴν γῆν ἐργαζομένων *d* : om. *h* 4 τις ἐπελάβετο S : οὗτος ἐθέλησε B ἵπποις — 7 ὠνόμασαν om. *kl* ἕως οὗ *h** : μέχρι οὗ *x* : μέχρις ἂν *d* 5 ἑαυτοῦ *x* καὶ πάντα S* : πάντα γὰρ *x* κατανήλισκεν *x* 6 τροφὴν τῶν ἵππων. οἱ φίλοι οὖν S

VIII. (IX.) refertur ex B et S (= *h*, *d*)

9 νιόβη om. B 10 τῷ om. B ἀνθρώπου codd. vat. pal. 143 et cantabr. : ἀνθρώπων c.*

---

2 τὴν utrumque om. οὕτως] πλείστην 3 κεκτημένων *a* (ex cod. vat. pal. 143) 4 τις] τε 5 κατηνάλωσεν 6 καὶ (pro τῶν) ἵππων A φίλοι E*a* : ἄνδρες A*e* 7 τοὺς ἵππους om. A, ante ἀνδροφ. habet E οὗ γενομένου

VIII. (IX.) refertur ex AE

9 γυνὴ om. 10 sq. ἐκ λίθου γενέσθαι ἄνθρωπον ἢ ἐξ ἀνθρώπων λίθον 12 νιόβη παίδων — 13 τις] ἑαυτῆς παίδων, ποιήσασα ἑαυτῇ (-ῆς E)

[τῶν παίδων]. ἔλεγον οὖν οἱ παριόντες „Νιόβη λιθίνη ἕστηκεν ἐπὶ τῷ τύμβῳ· ἐθεασάμεθα ἡμεῖς αὐτήν“, ὥσπερ καὶ νῦν λέγεται „παρὰ τὸν χαλκοῦν Ἡρακλέα ἐκαθήμην“ καὶ „παρὰ τὸν Πάριον Ἑρμῆν ὤν“. τοιοῦτον ἦν κἀκεῖνο, ἀλλ' οὐχὶ Νιόβη αὐτὴ λιθίνη ἐγένετο.

IX. (X.)

[Περὶ Λυγκέως.]

Λέγεται ὡς Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ἑώρα. τοῦτο δὲ ψευδές. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλείᾳ λύχνους καταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατελίμπανεν ἐπὶ τοῦ τόπου, αὐτὸς δὲ θυλάκους ἀνέφερε τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου. ἔλεγον οὖν οἱ ἄνθρωποι „Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον ἀναφέρει.“

1 τῶν παίδων om. (sup. lin. add. m^{2}) x; vetus glossema induxi 2 ἐ. τῷ τύμβῳ d et cod. barocc. 72 : ἐ. τοῦ τύμβου l et cod. barocc. 125 : ἐ. τύμβου kxh 3 καὶ om. lh παρὰ S : περὶ B 4 καὶ — ὤν unus servavit d 5 ἦν ἐκεῖνο h, ceteris omissis οὐχὶ xd : οὐχ ἡ kl

IX. (X.) refertur ex B et S (= h, d)

6 λυγκέα λέγουσιν ὡς d* et sic fere Apost. 7 τοῦτο δὲ ψ.* : om. ἔχει om. S ὧδε B : οὕτως d : αὕτη h (ubi praecedit ἡ δ' ἀλήθεια) λυγκεὺς S* : οὗτος B 9 μεταλλεία B : μεταλλεύσει S*

10 τὴν om. S κατελ^{μαν}ίπεν d : εἴα h τὸν τόπον xd^{2} 11 ἀνέφερε h* : ἀνεφέρετο Bd τοῦ utrumque om. B 13 ἀναφέρει h et Schol. Aristoph. Pl. 210 : περιφέρει B* : παραφέρει d

1 τῶν παίδων τάφω (om. τῷ τύμβῳ p. 16, 13) E 1 sq. ἔλεγον — τύμβῳ e^{2} mg. : om. c. 2 sq. καὶ ἡμεῖς ἐθεασάμεθα αὐτὴν οἷα καὶ λέγεται, ceteris omissis

IX. (X.) refertur ex AE

6 καὶ E : om. A 7 ψεῦδος A δὲ ἀλ. a : δ' ἀλ. c. ὧδε A : οὕτως E 9 μεταφέρων (sed καταφ- e^{2}) 10 τοὺς μὲν om. i 10 sq. κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ⟨θηλάκους sic e^{2} mg.⟩ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον 12 ἄνθρ. ὅτι λυγκεὺς τὰ Ea : om. Ae

X. (XI.)

[*Περὶ Καινέως.*]

*Καινέα φασὶν ὅτι ἄτρωτος ἦν. ὅστις δὲ ὑπο-
λαμβάνει ἄτρωτον εἶναί τινα ἀπὸ σιδήρου ἄνθρωπον
280 ὄντα, ματαιάζει. ἡ δὲ ἀλήθεια ἔχει ὧδε. Καινεὺς
ἦν ἀνὴρ Θετταλὸς τὸ γένος, ἀγαθὸς τὰ πολεμικὰ καὶ
ἐπιστήμων τοῦ μάχεσθαι· γενόμενος δὲ ἐν πολλαῖς
μάχαις οὐδέποτε ἐτρώθη, οὐδὲ ὅτε Λαπίθαις συμ-
μαχῶν πρὸς Κενταύρους ἀπέθανεν· ἀλλὰ συλλαβόντες
αὐτόν, μόνον κατέχωσαν, καὶ οὕτως ἐτελεύτησεν. ἔλεγον
οὖν οἱ Λαπίθαι, ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ καὶ
εὑρόντες μὴ τετρωμένον τὸ σῶμα, „Καινεὺς τόν τε
ἄλλον βίον ἄτρωτος ἦν καὶ ἀπέθανεν ἄτρωτος.“*

XI. (XII.)

[*Περὶ Κύκνου.*]

Ὁ αὐτὸς λόγος καὶ περὶ Κύκνου τοῦ ἐν Κολωναῖς· καὶ γὰρ κἀκεῖνόν φασιν ὅτι ἄτρωτος ἦν. καὶ

X. (XI.) refertur ex B et S (= *h*, *d*)
2 *εἶναι* om. *d* *ὑπὸ* (cum Apostole) Valcken. et Westerm.
3 *ὄντα* om. *h** *ἔχει* om. S *οὕτως d* : *αὕτη h* **4** *πολεμικὰ* (cfr. p. 12, 10) *l** : *πολέμια kx*S **6** *οὐδὲ d* Fischer. : *οὔτε* c.* **8** *μόνον*] *ζῶντα* coni. sine iusta causa Valcken.
XI. (XII.) refertur ex B et S (= *h*, *d* et — inde a p. 19, 5 ⟨*ἀγω*⟩*νιζομένους* — *m*)
tit. *περὶ κύκνου dx** : *π. τοῦ ἐν κολωναῖς κύκνου h* : *π. κύκνου τοῦ ἐν κολωναῖς lk²* **12** *ὁ αὐτὸς h** : *ὁ αὐτός τε* B*d*

X. (XI.) refertur ex AE
1 sq. *ὃς δ' ὑπολαμβάνει* **2** *εἶναί τινα* om. **3** *ματαιάζει*] *εὐήθης* [p. 280 W.] *ἐστίν* *ὧδε* E : *οὕτως* A **4** *ἀνὴρ* om. *τῷ γένει* **6** *ὅτε* om. **7** *πρὸς τῶν κενταύρων* **10** *τόν τε* E : *τόν γε* A
XI. (XII.) refertur ex AE
12 sq. *κολώναις* E*a* **13** *ἐκεῖνόν φασιν* E*a* : *ἐκεῖνος φασὶν* A*e*

αὐτὸς ἦν αἰχμητὴς καὶ ἐπιστήμων μάχης· ἀπέθανε δὲ ἐν Τροίᾳ ὑπὸ Ἀχιλλέως λίθῳ βληθείς, καὶ οὐδὲ τότε ἐτρώθη. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὁρῶντες τὸν νεκρὸν αὐτοῦ, ὅτι ἄτρωτος ἦν, ὥσπερ καὶ νῦν λέγουσιν τοὺς ἀγωνιστάς, ἐάν τις ἄτρωτος ᾖ. οὕτως κἀκεῖνοι ἐκλήθησαν ἄτρωτοι. κατηγορεῖ δὲ τούτων τῶν λόγων καὶ ἐμοὶ μαρτυρεῖ Αἴας ὁ Τελαμώνιος· καὶ γὰρ κἀκεῖνος ἐλέγετο ἄτρωτος, καὶ ἀπέθανε ξίφει τρωθεὶς ὑφ' ἑαυτοῦ.

XII. (XIII.)

[Περὶ Δαιδάλου καὶ Ἰκάρου.]

Φασὶν ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον τὸν υἱὸν αὐτοῦ καθεῖρξε διά τινα αἰτίαν, Δαίδαλος δὲ

---

2 λίθω πληγεὶς h* 2 sq. οὐδὲ τότε d : οὐδέποτε c. 3 ἄνθρωποι om. B ὁρῶντες S* : βλέποντες lk^{2} : λέγοντες xk^{1} 4 ὥσπερ — 5 ᾖ om. B* 4 sq. λέγουσιν d : λέγεται h 5 τοὺς ἀγωνιστὰς d : ⟨τοὺς ἀγω⟩νιζομένους m : πολλοὺς τῶν ἀγωνιστῶν h ᾖ d : ἦν h : μένη m οὕτως — 6 ἄτρωτοι om. h οὕτως Bd : οὕτω γὰρ m 6 κἀκ. ἐκ. ἄτ.] οὗτος ἐκλήθη ἄτρωτος B κατηγορεῖ — 7 λόγων om. hm 6 sq. τούτου τοῦ λόγου d* καὶ μαρτυρεῖ (om. ἐμοὶ) m : μαρτυρεῖ δὲ μοὶ καὶ h 8 κἀκεῖνος hm* : ἐκεῖνος Bd ἐλέγ. ἄ. καὶ] ἄ. λεγόμενος m : ἄ. γενόμενος h

---

1 ἀπέθανε om. 1 sq. δὲ ἐν] ἐν δὲ A : ἐν μὲν οὖν τῇ E 2 sq. καὶ οὐδὲ τότε] ⟨καὶ e^{2}⟩ οὐκ A : οὐδὲ E 3 ὁρῶντες a : οἱ ὁρ. c. 4 ἦν E : ἦν καὶ αὐτὸς A 5 sq. οὕτω κἀκεῖνος ἄτρωτος ἐκλήθη 7 ἐμοὶ om. E συμμαρτυρεῖ 8 καὶ ἀπέθανε om. Ea 8 sq. τρωθεὶς ξίφει Ae : ἀναιρεθεὶς ξίφει Ea

XII. (XIII.) refertur ex AE
10 δαίδαλον καὶ ἴκαρον ὁ μίνως E 10 sq. τὸν υἱὸν αὐτοῦ om. 11 post αἰτίαν add. υἱοὺς αὐτοῦ ὄντας

ποιήσας πτέρυγας ἀμφοτέροις προσθετάς, ἐξέπτη | 281 μετὰ τοῦ Ἰκάρου. νοῆσαι δὲ ἄνθρωπον πετόμενον, ἀμήχανον, καὶ ταῦτα πτέρυγας ἔχοντα προσθετάς. τὸ οὖν λεγόμενον ἦν τοιοῦτον. Δαίδαλος ὢν ἐν τῇ εἱρκτῇ, καθεὶς ἑαυτὸν διὰ θυρίδος καὶ τὸν υἱὸν κατασπάσας, σκαφίδι ἐμβάς, ἀπῄει. αἰσθόμενος δὲ ὁ Μίνως πέμπει πλοῖα διώξοντα. οἱ δὲ ὡς ᾔσθοντο διωκόμενοι, ἀνέμου λάβρου καὶ φοροῦ ὄντος, πετόμενοι ἐφαίνοντο. εἶτα πλέοντες οὐρίῳ Κρητικῷ νότῳ ἐν τῷ πελάγει περιτρέπονται· καὶ ὁ μὲν Δαίδαλος περισῴζεται εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος διαφθείρεται (ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη), ἐκβληθέντα δὲ ὑπὸ τῶν κυμάτων ὁ πατὴρ ἔθαψεν.

XII. (**XIII.**) refertur ex B et S (= *h*, *d*, *m*)

1 ἀμφοτέροις om. *d** 2 sq. πετόμενον *lxd* : πετώμενον *khm* 3 ἀμήχανον *d** : ἀδύνατον B : ἀπίθανον *hm* 4 λεγόμενον] 'immo γενόμενον' Vitelli. 6 σκαφίσιν *k* : ἀκαφίσιν sic *x*; num ἀκατίῳ? ἐμβάντες ᾤχοντο *m* 7 ὁ om. *m* ὡς S* : ὅτε B 8 λάβρου recepi ex A : λαύρου B*d* : λαμπροῦ *h* : σφοδροῦ *m* καὶ φοροῦ S : om. B 8 sq. πετώμενοι *k* : ὡς πετώμ. *m* : πλέοντες ὥσπερ ἐπέτωντο (sic) *h* 9 ἐφαίνοντο· εἶτα om. *hm* πλέοντες — νότῳ om. *h* πλέοντες δὲ *m* 10 ἐν δὲ τῷ *h* πελάγει* : ἰκαρίῳ πελάγει 11 σώζεται *h** 11 sq. ὁ δὲ Ἴ. διαφθ. om. *d* 12 sq. ἐκβληθέντα *xdh* : ἐκβληθέντος *klm*

---

1 ἐξέπτη] ἐξῆλθε 2 sq. πετόμενον *ae*[2] : πετώμ. c. 4 τοιοῦτον ἦν vi 5 τῇ *e*[2] : om. c. 5 sq. τὸν υἱὸν κατασπάσας om. 6 ἀπῄει] εἰς θάλασσαν ἔπλεεν 7 οἱ δ' ὡς ᾔ.] ὡς ᾔ. δὲ ἴκαρός τε καὶ δαίδαλος 8 λαύρου E φοροῦ] σφοδροῦ 8 sq. πετόμ. *e*[2] et cod. marc. 509 : πετώμ. c. 9 ἐφαίνοντο om. εἶτα] ἤγουν οὐ. κ. νότῳ om. 10 ἰκαρίω post πελάγει add. *e*[2] 11 διαφθείρεται] τελευτᾷ ἐν τῷ πελάγει 12 sq. ἐκβληθεὶς δ' ὁ ἴκαρος παρὰ τοῦ πατρὸς ἐτάφη

XIII. (XIV.)

[*Περὶ Ἀταλάντης καὶ Μειλανίωνος.*]

Λέγεται περὶ Ἀταλάντης καὶ Μειλανίωνος ὡς ὁ μὲν ἐγένετο λέων, ἡ δὲ λέαινα. ἦν δὲ τὸ ἀληθὲς τοιοῦτον. Ἀταλάντη καὶ Μειλανίων ἐκυνηγέτουν. ἀναπείθει δὲ τὴν κόρην ὁ Μειλανίων μιγῆναι αὐτῷ. εἰσέρχονται δὲ εἴς τι σπήλαιον μιχθησόμενοι. ἦν δὲ ἐν τῷ ἄντρῳ εὐνὴ λέοντος καὶ λεαίνης, οἳ δή, ἀκούσαντες φωνῆς, ἐξελθόντες ἐμπίπτουσι τοῖς περὶ Ἀταλάντην καὶ ἀναιροῦσιν αὐτούς. μετὰ δὲ χρόνον τοῦ λέοντος καὶ τῆς λεαίνης ἐξελθόντων, ἰδόντες τούτους οἱ συγκυνηγετοῦντες τῷ Μειλανίωνι, ἔδοξαν αὐτοὺς εἰς ταῦτα τὰ ζῷα με|ταβληθῆναι. εἰσβάλλοντες 282 *οὖν εἰς τὴν πόλιν διεφήμιζον ὡς οἱ περὶ Ἀταλάντην [καὶ Μειλανίωνα] εἰς λέοντας μετεβλήθησαν.*

XIII. (**XIV.**) refertur ex B et S (= *h*, *d*, *m*)
tit. *μειλαν-* ubique restituit Fischer. : *μιλαν- hm* : *μελαν-* c.
1 *ὡς*] *καὶ k* **3** *ἐκυνηγέτουν h* : *ἐκυνήγουν* B*d** : *ἄμφω κυνεγετοῦντες* sic *m* **4** *δὲ* om. *m* *αὐτῷ*] *αὐτῇ dm**
5 *ἔρχονται m* : *εἰσέρχεται d** *εἴς τι m* : *εἰς τὸ* B*d* : *ἐπὶ τὸ h* *μιχθησόμενος d** *ἦν* — **6** *εὐνὴ*] *ἐν ᾧ ἦν εὐνὴ m* : *ἦν δὲ το ἄντρον* sic *d* **6** *οἳ δὴ* scripsi : *οἱ δὲ* B*d* : *οἳ καὶ hm**
6 sq. *ἀκ. φωνῆς* om. *h* **7** *φωνῆς*] *σφῶν d* : *φωνῆς καὶ x* : *τῆς φῶνης αὐτῶν καὶ m* *ἐπιπίττουσι⟨ν m⟩* S **7** sq. *τοῖς π. Ἀ.*] *αὐτοῖς m* **8** *αὐτοὺς* om. *m* *δὲ πολὺν χρόνον hm*
9 *ἰδόντες τούτους* om. S* fort. recte : *ἰδόντες δὲ τούτους k*
10 *συγκυνηγοῦντες x* : *σϋγκϋνηγόντες* sic *k* : *συν|κυνηγετοῦντες h*
11 *εἰσβάλλοντες* B*h** : *εἰσβαλόντες dm* **12** *διεφήμιζον* S* : *διεφημίσαντο* B **12** sq. *ἀταλάντην καὶ μελανίωνα dh** : *μελανίωνα καὶ ἀτ.* B : *ἀταλάντη καὶ μιλανίων* (om. *οἱ περὶ*) *m* **13** *καὶ Μ.* delevi

---

XIII. (**XIV.**) refertur ex AE
tit. *μηλαν-* et sic ubique **2** *ἡ μὲν ἐγένετο λέαινα ὁ δὲ λέων* A **2** sq. *τὸ δὲ ἀλ. ἔνι τοιοῦτον* **4** *ὁ* om. **5** *εἴς τι* A : *εἰς τὸ* E **7** *ἐμπίπ.* — **8** *αὐτοὺς*] *ἀναιροῦσι τοὺς περὶ ἀταλάντην* **8** sq. *τῆς λεαίνης καὶ τοῦ λέοντος* **9** *ἐξελθόντες* E
10 sq. *οἱ κυνηγετοῦντες* (*κυνηγοῦντες i*) *σὺν μηλανίωνι ⟨αὐτοὺς* A⟩ *εἰς ταῦτα τ. ζ. ἔδοξαν μεταβεβλῆσθαι*

XIV. (XV.)

[*Περὶ Καλλιστοῦς.*]

Καὶ ὁ περὶ Καλλιστοῦς λόγος τοιοῦτος, ὡς κυνηγετοῦσα ἄρκτος ἐγένετο. ἐγὼ δέ φημι καὶ ταύτην εἰς ξύλοχόν που καταντήσασαν, ὅπου ἐτύγχανεν ἄρκτος, θηρεύουσαν καταβρωθῆναι· τοὺς δὲ ⟨συγ⟩κυνηγετοῦντας, ἰδόντας εἰσελθοῦσαν μέν, μηκέτι δὲ ἐξερχομένην, εἰπεῖν ὡς ἡ κόρη ἄρκτος ἐγένετο.|

XV. (XVI.)

[*Περὶ Εὐρώπης.*]

Φασὶν Εὐρώπην τὴν Φοίνικος ἐπὶ ταύρου ὀχουμένην διὰ τῆς θαλάσσης ἐκ Τύρου εἰς Κρήτην ἀφικέσθαι. ἐμοὶ δὲ οὔτ' ἂν ταῦρος οὔθ' ἵππος δοκεῖ τοσοῦτον πέλαγος διανύσαι [δύνασθαι], οὔτε κόρη ἐπὶ

XIV. (XV.) refertur ex B et S (= *d*, *h*, *m*)
1 *τοιοῦτος καὶ ὁ περὶ καλλιστοὺς* (sic) *λόγος ὡς m* **2** *δὲ φημὶ kxh* **3** *ὅπου ἔτυχεν d* : *ἐν ᾧ εὑροῦσα* sic *m* **4** *θηρεύουσα d* : om. *h* *βρωθῆναι* B **4** sq. *συγ-* suppl. Vitelli. : *κυνηγοῦντας kxh* **5** *μὲν αὐτὴν εἰσελθοῦσαν* cod. barocc. 72, unde [*αὐτὴν*] *εἰσελθοῦσαν μὲν* Westerm.
XV. (XVI.) refertur ex B et S (= *h*, *d*, *m*)
